Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236419-p0001-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236419-p0002-4

VII C12099 6

# De Angelis

## CARMEN ELEGIACVM GRÆCVM, IN FESTVM S. MICHAELIS ARCHANGELI, SCRIPTVM

ET

Amplissimis atque clarissimis viris, eruditione, prudentia, virtute & dignitate præstantibus Dominis Consulibus & Senatoribus celeberrimæ Reipub. LIPSENSIS, Dominis atq; fautoribus studiorum colendis dedicatum

à

*Casparo Eilenbergio Miseno.*



*LIPSIÆ,*
Imprimebat Georgius Defnerus.
CIƆ. IƆ. LXXXIV.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236419-p0003-0

Ημος ὁ αὐτοφυὴς γενετὴρ πρώτιστον ἔτευξε
Τῶν σφετέρῳ ζαθέῳ πάντα ὕπερθε λόγῳ.
Οὐρανὸν ὑψόροφον, μεγάλην ζείδωρον ἄρουραν,
Παντοίους ποταμοὺς καὶ ἅλα εὐρύπορον
Κνώδαλα, ὄρνιθας ὠκυπέτας καὶ θηρία πάντα,
ὕδωρ ὅσα ἔχει καὶ χθονὶ εἰσὶ μακρᾷ.
Τῆμος καὶ ἄμοθι προφερέστατον ἔξοχεν ἄλλων
Κτίσμα ἔπλασε πατὴρ, τὸν χόρον ἀγγελικὸν
Οὓν θέλεν εἶναι ἑοῦ γνώσει βέλτιστον ἀγαυῆ
Ηδὲ δικαιοσύνῃ εἰκόνα τ' ἰσοκρατῆ.
Ὃς ῥα ἔχων θυμὸν ζάθεον, θεὸς ὡς πανάριστος,
Ζώσῃ νόσφι πόνων, ἧσι βροτῶν τε φύλαξ.
Εμβαλε τοῖο χάριν φρεσὶ τῶν μεγαλαυχέα δῶρα,
Εἶσε καὶ οὐλύμπου εἰς ἐρόεντα τόπον.
Αλλὰ δὲ μὴ δώροις τόσσοις ἀρκούμενοι ἐσμοῦ
Τοῖο τινὲς ταχέως τὸν πρόλιπον γενετὴν.
Μὴ γὰρ ἐκείνῳ ἀπὸ θρεπτήρια δῶκαν, ἐφετμὰς
Μηδὲ ῥα κύδαινον κύδεσ' ἀριπρεπέσι.
Ἀντ' ἀγαθῶν αὐτὰρ τὰ ἐλέγχεα μύρια βάζον.
Μηχανάοντο φρεσὶν καὶ κακὰ πολλὰ βροτοῖς.
Τοὔνεκα χωόμενος θεὸς ὑψιγένεθλος ἐκείνους
Χαιρεκάκους μακροῦ οὐρανοῦ ἐξέλασε.
Αγλαὰ δῶρα δικαιοσύνης ἐξείλετο πάντα,
Φραδμοσύνην ἱερὴν καὶ καλὰ ὅσσα ἔσαν.
Αλλὰ τάχιστα κακῶν τούτων ἀρχηγὸς ἀγήνωρ
Αντίον αὖ χόλον ἐς Χριστὸν ἴαλλεν ἑὸν.
Ηδὲ δύων ἑτάροις ἅμα χρῶτι φλόγ' ἴκελα τεύχη
Ἴλαδον εἰς ἱερὸν δῶμα θεοῖο πέσεν.
Ενθα ἐμήσατο μὲν πολεμόκλονον ἔργον ἄρηος.
Σὺν Μιχαὴλ τούτου καὶ μετόχοισι κλυτοῖς:
Καρπαλίμως δὲ πολὺς πολέμου ὀρυμαγδὸς ὀρώρει.
Οὐρανῷ ἐν μεγάλῳ τοῖν ῥα δυοῖν στρατίοιν.

Σμερδαλέος λάβε καὶ τρόμος ὑψιθέμεθλια γαίης.
    Ἀνθρώπους δεινὸν καὶ κατὰ κῆρα δέος.
Τύπτον γὰρ ξίφεσιν καὶ ἔγχεσιν ἀμφοτέρωθεν,
    Μαρνήσαντο περ' ὧν αἵματος ἠδὲ βίου.
Αὐτὰρ μηδαμόθεν νικῶν ὁ Δράκων, ὅπλα χειρῶν
    ἔκβαλλεν, πικρὴν τ' εἰς ἐτράπετο φυγήν.
Δῆσε δ' ἐν ἀρρήκτοις δεσμοῖς Μιχαὴλ ἐρικυδὴς
    ἄγγελος, οὐρανίων ἐξέλασέν τε χόρου.
Τοιαύτοις νίκης χάριν αὐτὸς ἔπειτα ἀπαιτῶν
    ἤτορα ἀνθρώπων οἷο λόχησε δόλῳ.
Πάντῃ μὲν γὰρ ἔγειρε φόνους στονόεντας ἐν αἴᾳ,
    Νεῖκος ἐνυάλιον πολλὰ καὶ ἄλλα κακά.
Ὥσπερ ὁ συμβῆναι ἀπὸ ἀρχῆς κόσμου ἀπειθοῦς
    πρὶν μέχρι νῦν ἴδμεν πευκαλίμῃσι φρεσί.
Πρώτιστον θέλγων ἔπεσ' αἱμυλίοισι γυναῖκα,
    Ἡ προόπευσεν ὁμοῦ φῶτα Ἀδὰμ πρόγονον.
Μείζονα ἀμπλακιῶν καὶ πλὴν οἶκτον θεὸς ἔχοι,
    ἔκγονοι ἤχθειμεν πάντες ἄμ' εἰς ἀΐδην.
Τοῦ δὲ χάριν γινόμεθα πόνου καὶ ὀϊζύος ἴδρεις
    ἕλκοντες βραχίω λευγαλέον τε βίον.
Ποικίλα τοῖο χάριν κακὰ καὶ δόλιχοι νόσοι εἰσί,
    Μοῖρα καλοῖς τε πέρας καὶ πορεῦσα κακοῖς.
Οὗτος ἔπειτα Κάϊν πυκινὰς φρένας ἐξαπάτησε
    Χείρονα καὶ ὑπὸ οἱ τὸν νόον ἄλλον ἔθη.
Ὄφρα στυγήσῃ ἀδελφὸν ἑοῦ καὶ τόν δε σεαυτοῦ
    Κρείττονα νοσφίσῃ ἠδέος ἐκ βιότου.
ὡς κατὰ γαῖαν ἀεὶ ὀρόθυνεν πήματα λυγρὰ
    Δαίμων πᾶσιν οἱ ἐν τῇ χθονὶ σῖτον ἔδον.
Πολλάκι τῶν μεταβάλλει ἄριστόν περ νόον ὄφρα
    Βυσσοδομεύωσιν σχέτλια πάντα φρεσί.
Ἀλλὰ τὰ πάντα ἐπειδὰν ἔχων θεὸς ἔκδικον ὄμμα,
    Οἶδε χολωσάμενος φθέγξατο τοῖα ἔπη·

Μαυρο-

Μαυρούσιον γένος ἐστὶ βροτῶν ἐμοὶ ὑβριστάων,
    Τοῖσιν ἀμοιβὴν νῦν τιννύμενος χαλεπήν.
Ἐξαπίνης δ' ὕδασιν περίβαλλεν πορφυρέοισι
    Πάντα καὶ ἐν χθονὶ τῶν πότμῳ ὄλεσσε πικρῷ.
Ὡς ἄταρ ἄλλο ἐπεὶ γένος ἀνδρῶν ἐς φάος ἦλθε,
    Πίμπλαται ἀλλοίοις γαῖα καὶ αὖτε μακρή.
Ἐμμαπέως καὶ ὁμοῦ περὶ ὥστε λέων νόησεν
    ἔνθα καὶ ἔνθα Δράκων ἔχθρος ὁ ἡμέτερος.
Μερμήριξε κατὰ φρενὰ πόλλα κακ' ἠπεροπεύειν
    ἄνδρας ἀμήχανα καὶ δίκτυα τευχέμεναι.
Πολλάκι νουσαλέοις καὶ ἀλγινόεσσιν ὀμίχλης
    Φθίσεν τριστοίχου αἴθερα μακρὸν ἔδους.
Πολλαχοῦ ὠκέανον λέλισεν καὶ ὦρσεν ἀέλλας
    Παντοίων ἀνέμων κύματα ἶσ' ὄρεσι.
Ναυσιφόροις νῆος πλευρὰ ποντοπόροιο ἔρρηξε
    Μηδόμενος κρυεροῦ σφὶν θανάτοιο τέλος.
Οὐρανίας διδαχὰς φθάρεν ἀενάοιο βίοιο,
    Συμμίσγων ταύταις ψεύδε' ὁμοῖ' ἐτύμοις.
Πήματα πυκνὰ θεοῖο λόγῳ παραθεῖσιν ὕφαινε
    Τοῖσιν ἐνεδρεύων πάντοσε ἐξαπατῆς.
Τοὔνεκεν ἀρχεκάκου ὄφεως κακότης κατὰ γαῖαν
    Αὔξεν, ῥῆμα θεοῦ οὔτινι ἤδε μέλει.
Πάντῃ ὑπερβιάλως ἄνθρωποι νῦν μέγαν ὅρκον
    Οὔνομα ὑψίστου κερτόμεόν τε θεοῦ.
ἑβδομάτων φέγγος ψάλμοις καὶ εὐεπίῃσι
    οὐ τιμῶσιν ἄταρ παίγμασι παντοδάποις.
Τέχναι φθείρονται κεδναὶ ἱεραί τε θέμιστες,
    Πάντοσ' ἐγείρονται ὀργὴ ἔρις τε κακή.
Ψεύδη, ἔνεδρα, φόνοι, μοιχεῖαι, ἐπεσβολίαι τε
    Θάλλουσ' ἀπερχὲς πόλλα καὶ ἄλλα κακά.
Ξεῖνος ξεινοδόκῳ φθονέει καὶ γείτονι γείτων,
    καὶ κοτέουσι καλοῖς τέκνα γονεῦσιν ἑοῖς.

ὑστάτιον

Υστάτιον τέχνης δολίῃσι Δράκων κακόχαρτος
Κόσμον ἄνευ τέλεος νῦν καταράττει ὅλως.
Μηδεὶς ὄφρα βροτῶν μάλα ἀγχίνοος περ ἐκείνου
Πάντα λέγξιν γλώσσῃ αἴσχρα δυνήται ἑοῦ.
Ἀντίον αὐτὰρ, ἐνὶ φρεσὶ μὴ θῶμεν σφετέρῃσι
Ἡμῶν οὐχὶ θεὸν τὴν μελέτην ἐχέμεν,
Αἰὲν ὀτρηροὶ ἄμμι στάσει ἐνὶ εἰσὶ φάλαγγες
Ἀγγελικῶν δούλων ἠέρα ἑσσομένων.
Οἳ ῥὰ ἐφραδμοσύνας τελέουσι καλῶς κατὰ μοῖραν,
Πᾶσαν ἀὲν κτίσου κυρίου ὑψιθρόνου.
Ἀρχῇ δὲ κτίσεως ὁ θεὸς σὺν κτίσμασιν ἄλλοις
Ἔκτισε τοὺς ἄλλων ἔξοχα πεπνυμένους
Ὀτρηροὺς δούλους ἀρετῇ σοφίῃ τε ἀρίστους,
Εἰκόνα εἰς ζαθέου εὐκλέα ἀρχετύπου.
Ἐμμελέως ὄφρα αὐτῷ ἐπιχθονίοις καὶ ἀπότμοις,
Ἄμμι παρῶσι δριμοῦς ἤματα πάντα βίου.
Οἳ ῥὰ δίκας τε φυλάσσουσιν καὶ σχέτλια ἔργα,
Φοιτῶντες πάντῃ γαίᾳ ἐν εὐρυάλῳ.
Μήδεται ἀρχεκάκοις καὶ εἴποτε ἔργον ἀρῆος
Ἠγαθέου ἐσμοῦ τῶν κατὰ χριστιανῶν.
Αἶψα προβαίνει ἐκεῖ Μιχαὴλ προφερέστατος ἄλλων,
Ἀμφιπόλων εἰδὼς μήδεα πεπνυμένα.
Ἵστησ᾽ ἰσοθέοις σὺν καὶ ἑτάροισιν ἔνοπλος,
Λόγχην τὴν προϊὼν ἀμπεπαλῶντε δόρυ.
Δυσμενέων δ᾽ ὑμῖν τότε ἔντεα παμφανόωντα
Ἐκβάλλει καὶ ὁμοῦ ἐξελάει τ᾽ ἔνεδρα.
Εἴ ποτ᾽ ἐγείρει ὄφις δολόεις θανάτοιο δοτείρας
Τὰς νεφέλας, ἀνέμους, κῦμ᾽ ὕδατός τε μέγα.
Ταῦτα ἄφαρ Μιχαὴλ ἀπολαμβάνει αὐτὶ γαλήνην
Εὔκηλον πορέων ἠελίου τε φάος.
Δίκτυ᾽ ἀμήχανα εἰ ἵστησι μνησοθέοισι
Ῥῆμα θεοῦ φθίνων μήδεται ἠδὲ κακά.

Ὅσσα

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236419-p0008-8

Ὅσσα ῥά ἐν βίβλοις ἱεροῖς περὶ Χριστοῦ ἔγραφθεν
    Ἑρμηνεύουσιν πάντα ἐπισταμένως.
καὶ π. επ ροιθε θεογλώσσων καλοὶ ἄγγελοι εἰσὶ
    Οἱ καταβάλλουσιν Δαίμονος ἔργα κακά.
ὡς τὸ θεοῦ δεῖξαι παραδεί ματα θεσμοθετάων
    Ποικίλα, δὴ ἀσιγᾶν ὥρα αὐώγει ἐμέ.
Ἡμῶν νῦν καὶ ὁμοῦ κήδονται ἤματα πάντα,
    Βλάπτωσιν πότε μὴ ἐχθροῦ ἔνδρα κακοῦ.
Μὴ ὄφρα ἀνθρώπων περὶ ὠφελίμας μελεδῶνας
    Κείνων ἐξαυδᾶν μοῖο δυνώμαι ὀπί.
Νῦν δ' ἀποπαυόμενος σοι ἐπεύχομαι, ἠνείχενον
    Ὦ πάτερ, εὐχωλὰς ἐνθέῳ θυμῷ ἐμάς.
Ἡμῶν φροντίδ' ἔχ' ὡς πρότερον θνητῶν δυστήνων,
    Πήματα νεύματι καὶ πάντα ἄλαλκε τεῷ.
Οὔνομά σου μέγαλον καὶ ῥῆμα δός, ὡς θέμις, αἰεὶ
    Κηρύσσειν πάντη εὖ μάλα καὶ ἱερῶς.
Πίστει ἐν εἰλικρινεῖ ἄγομεν περικαλλέα ζωήν.
    Εἴκ' ἀσεβὲς πλῆθος σμερδαλέον βριμέην.
Λοιμὸν καὶ πόλεμον, λοιγὸν, λιμὸν καὶ ἔνεδρα
    Ἀρχεκάκου χώρων σοῦ ἀπόπαυε θεός.
Οἷς καὶ μηδαμόθεν παραμυθία ἤ τις ἀρωγὴ
    Οἷα ἐν ἐστὶ, ἐοῦ τοῖσι πάριθι ἀκεῖ.
Ὕστερον ἀγγελικοῖς, πάσχωμεν μὴ κακὰ λυγρὰ,
    Δούλοις, ἡμᾶς ἐν παντὶ φύλασσε βίῳ.
Μήποτε ἀλλὰ λαθεῖν τόσσων εὐεργεσιάων,
    ΧΡΙΣΤΕ τεῶν, δόθι καὶ εὖχος ἄρεστον ἐμοί.

a 2490

ULB Halle 3
003 485 986

Sb

WO

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236419-p0011-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236419-p0012-0

Cl 2099

# De Angelis

## CARMEN ELEGIACVM GRÆCVM, IN FESTVM S. MICHAELIS ARCHANGELI, SCRIPTVM

ET

Amplissimis atque clarissimis viris, eruditione, prudentia, virtute & dignitate præstantibus Dominis Consulibus & Senatoribus celeberrimæ Reipub. LIPSENSIS, Dominis atq; fautoribus studiorum colendis dedicatum

à

*Casparo Eilenbergio Miseno.*



*LIPSIÆ,*
Imprimebat Georgius Defnerus.
CIƆ. IƆ. LXXXIV.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236419-p0013-6